τοῦ Κλέωνος, περὶ τῶν ἐνεστηκότων καὶ μελλόντων. Ὑπὸ τοῦ πολέμου καὶ τῆς ὁμίχλης.] ὑπὸ τῶν περιεστώτων κακῶν, καὶ τῶν τοῦ πολέμου δυσχερῶν συνεχόμενος μὴ ἐλέγχῃ τὰ σὰ κακουργήματα. ὁμίχλη δὲ, ἐπὶ τοῦ τεθολωμένου ἀέρος. καὶ μὴ διαυγοῦς μηδὲ λαμπροῦ, τάσσεται. ὁ δὲ νοῦς τοιοῦτος, ὅτι οὐ τῷ δήμῳ φίλα φρονῶν, πείθεις αὐτοὺς Ἀρκάσι πολεμεῖν, ἀλλ' ἵνα περὶ τὸν πόλεμον ἀσχολούμενος, μὴ περιεργάζηται τὰ σὰ πανουργήματα, εἰς σὲ κεχήνῃ, εἰς σὲ ἀποβλέπῃ καὶ πειθαρχῇ. Χίδρα.] τινὲς ἄγρια λάχανα. οἱ δὲ τὰ ὄσπρεια ἢ τὰ ἐξ ὀσπρείων ἄλευρα ἢ κρῆμνα ἢ στάχυες νεογενεῖς. κυρίως δὲ, τὰ ἀπὸ χλωρᾶς κριθῆς κεινόμενα ὡς σεμίδαλις ἐρεικτά. χίδρα δὲ εἴρηται παρὰ τὸ χεῖσθαι. ἀναθαρρήσῃ δὲ θαρσαλεώτερος γένηται.

Bisetus. Χίδρα.] Σ. Χίδρα, τὰ εἰς τὴν χεῖρα λεπτυνόμενα ἀπὸ τῶν ἀσταχύων σίτου, καὶ κριθῆς.

A χίδρον, τὸ ἀπὸ τοῦ ἐλύμου γιγνόμενον ὄσπρειον. ἔδεσμα περὶ Καρείαν. ἤτοι τὸ ἀπὸ χλωρῶν κριθῶν. οἱ δὲ εἶδος βοτάνης. ἐκ δὲ τούτου δηλοῖ τὴν εὐτέλειαν.

Σχόλια. Στεμφύλων εἰς λόγον ἔλθῃ.] καὶ προσομιλήσει τοῖς στεμφύλοις, ἢ πλησιάσει. στέμφυλα δὲ ἐκάλουν οἱ παλαιοὶ, τὰ τῶν ἐλαιῶν ἀποπιέσματα. περιτύσματα δὲ τὰ τῶν ἀμπελῶν. Παρεκόπτου.] παρῄρου ἐλυμαίνου. ἀπὸ μεταφορᾶς τῶν παρακοπτομένων τὰ πτερὰ ὀρνέων. ἰδίως δὲ τὸν μισθὸν τῶν στρατευομένων οἱ παλαιοὶ μισθοφορὰν ἐκάλουν. φησὶν οὖν ὅτι τοῦ πολέμου ἀπαλλαγέντες, ἐπι-
B γνώσονται τὴν βλάβην, ἣν διὰ τῆς μισθοφορᾶς αὐτοὺς ἔβλαπτες, πλείονα αὐτοὺς ἀγαθὰ παραιρούμενος, ὧν ἀπολαύειν ἠδύναντο εἰρήνην ἄγοντες. ἄγροικος δὲ ὀργῆς γέμων. τραχὺς δὲ, ψήφων ἰχνεύων, καταδικάσαι προῃρημένος.

| | |
|---|---|
| Εἶθ' ἥξει σοι δριμὺς ἄγροικος, κατὰ σου τὴν ψῆφον ἰχνεύων. | *Ad te veniet, & calculum iniquè aduersus te feret atrum.* |
| Ἃ σὺ γιγνώσκων, τοῦτον ἐξαπατᾷς καὶ ὀνειροπολεῖς περὶ σεαυτοῦ. | C *Quæ cùm tu scias: populum decipis, & de te somnia captas.* |
| Κλ. Οὔκουν δεινὸν, ταυτί σε λέγειν δῆτ' ἐς ἐμὲ, καὶ διαβάλλειν, | CL. *Annon hoc graue, tam dura aduersus me conuitia, tótque* |
| Πρὸς Ἀθηναίους καὶ τὸν δῆμον, πεποιηκότα πλείονα χρηστά, | *Crimina proferri ad populum? beneficia plura locaui* |
| Νὴ τὴν Δήμητρα, Θεμιστοκλέους πολλῷ περὶ τὴν πόλιν ἤδη. | *In Rempub. ita me amet Dea, quàm præclara Themistoclis arma.* |
| Ἀλλ. Ὦ πόλις Ἄργους, κλύεθ' οἷα λέγει; σὺ Θεμιστοκλεῖ ἀντιφερίζεις; | D AG. *O vrbs Argi, auditin' quid dicat? túne Themistocli, opinor,* |
| Ὃς ἐποίησε τὴν πόλιν ἡμῶν μεστὴν, εὑρὼν ἐπιχειλῆ. | *Te æquipares: qui quam vacuam reperit, plenam reddidit vrbem:* |
| Καὶ πρὸς τούτοις ἀριστώσῃ τὸν Πειραιᾶ προσέμαξεν, | *Et Piræum insuper adiecit, piscésque nouos epulanti* |
| Ἀφελὼν τ' οὐδὲν τῶν ἀρχαίων ἰχθῦς καινοὺς παρέθηκε; | *Apposuit: de antiquis nihil ademit: tu verò indigenas nos* |
| Σὺ δ' Ἀθηναίους ἐζήτησας μικροπολίτας ἀποφῆναι, | *Extenuas, dirimendo muros, recitando oracula: qui te* |
| Διατειχίζων καὶ χρησμῳδῶν ὁ Θεμιστοκλεῖ ἀντιφερίζων. | E *Audes ipsi æquiparare Themistocli, tu furcifer amens.* |
| Κἀκεῖνος μὲν φεύγει τὴν γῆν, σὺ δ' Ἀχιλλείων ἀπομάττει. | *Patriam ille quidem fugit: tu verò Achilleis vesceris ordeis* |
| Κλ. Οὔκουν ταυτὶ δεινὸν ἀκούειν ὦ Δῆμ' ἐστί μ' ὑπὸ τούτου, | CL. *Annon graue mihi, audire hæc, mi popule, ex isto nebulone:* |
| Ὅτι σε φιλῶ. Δη. παῦ' οὗτος, καὶ μὴ σκέρβολλε πονηρά. | F *Propterea, quòd amo te? POP. tacesis, nec mala conuitia faxis:* |
| Πολλοῦ δὲ πολὺν μὲ χρόνον καὶ νῦν ἐλελήθεις ἐγκρυφιάζων. | *Sat longo tempore iam, ex occulto tu mihi verba dedisti.* |

Σχόλια. Ὀνειροπολεῖς.] παρακρούῃ, καὶ παραλογίζῃ καὶ παραπλανᾷς. καὶ ὀνειροπολεῖς, ὀνείρους ὁρῶν. τὸ δὲ ὦ πόλις Ἄργους ἀπὸ Τηλέφου Εὐριπίδου. τὸ δὲ κλύεθ' οἷα λέγει, ἀπὸ Μηδείας. τὸ δὲ σὺ δεικτικῶς.

G Bisetus. Θεμιστοκλέους πολλῷ] πολλῷ πλείονα χρηστά, εἴτε ἀγαθὰ πεποιηκότα, πλείονα λέγω τοῦ Θεμιστοκλέους.

Σχόλια. Ἐπιχειλῆ.] τουτέστι χείλη μὴ ἔχουσαν. αἰνίττεται δὲ διὰ τούτου τὴν ἱστορίαν Θεμιστοκλέους ὅτι τὴν πόλιν ἐτείχισεν. καὶ ταύτην παρὰ γνώμην τῶν Πελοποννησίων ἀπατήσας αὐτούς. φασὶ γὰρ τῶν Λακεδαιμονίων μαθόντων ἐκτειχίζεσθαι τὰς Ἀθήνας καὶ μὴ ἐπιτρεπόντων, καταστρατηγῆσαι τὸν Θεμιστοκλέα ἐπὶ τῷ δεῖξαι τοῖς Λακεδαιμονίοις ὅτι ἐπὶ τῷ κοινῷ τῆς Ἑλλάδος συμφέροντι τειχίζοιεν τὴν πόλιν. χειροτονηθεὶς δὲ πρεσβευτὴς, τοῖς μὲν Ἀθηναίοις ἔδωκεν ἐντολὰς τειχίζειν πάσῃ σπουδῇ τὴν πόλιν, μὴ φειδομένους, μήτε ἰδίου μήτε δημοσίου τινὸς οἰκοδομήματος. τοῖς δὲ πρεσβευταῖς προσέταξε, βράδιον ἐλθεῖν εἰς τὴν Λακεδαίμονα. αὐτὸς δὲ ἀφικόμενος ἐκεῖσε καὶ τῶν Λακεδαιμονίων ἀξιούντων αὐτὸν εἰς τὸ κοινὸν παρεῖναι, καὶ λέγειν ὧν χρήζων ἀφῖκται, τὸ μὲν πρῶτον εἰς τὴν παρουσίαν ὑπερετίθετο τῶν πρέσβεων. μὴ γὰρ ἀσφαλὲς ὑπάρχειν αὐτῷ κοινὰς ἐντολὰς λαβόντι, μόνον ἀποπληρῶσαι τὴν πρεσβείαν,